ληθείας πρώτιστον εἰκότως εἶναι καὶ κυριώτατον διατεινόμεθα, τὸ τῆς Ἀντιφάσεως (§. σμε΄.).

§. ωοε΄. Δυεῖν δὲ ὄντων Ἀξιωμάτων ὡς εἴρηται, τούτων εἰδῶν, ἐπὶ μὲν τὸ πρῶτον πάσας ἀνακτέον τὰς ταυτικὰς, ἢ ταυτολογούσας καλουμένας προτάσεις (§. τιη΄.), ἃς καὶ ἐκ πάσης ὕλης λαμβάνειν πρόχειρον, (καίτοι ἐπὶ τὰ ἀνωτέρω ἀνακαλουμένας ἐκεῖνα· ἕκαστον ἐστὶν ὅπερ ἐστὶν, ἐκ ἔστι δὲ ὃ ἐκ ἔστιν), ὥστε λῆρος μὲν ἀντικρυς ἡ κρίσις, ὡς μηδὲν ἐκπαιδεύουσα, ἐ πάντῃ δὲ περιττὴ ἐπὶ τῶν διακριβωμένων Ἀποδείξεων, κατὰ τὰ ἐξ ἀφαιρέσεως νοητὰ, καὶ μάλιστα ἐν τοῖς Γεωμετρικοῖς, ἡ χρῆσις (.). Ἐπὶ δὲ τὸ Δεύτερον τὰς Ἐννοηματικὰς εἰρημένας (§. σμε΄.) ἁπάσας· ἃς δὴ ταυτικὰς ὁπωσοῦν καὶ ταύτας, κατ' ἐκείνας ἄντις ἀνομάσειεν ἐκ ἀλόγως. Πλὴν ὅσον ἐπ' ἐκείνων μὲν, κατ' ἐπανθύμησιν τῆς αὐτῆς ἰδέας, καὶ ἡ τοῦ ὅρου γίνεται ἐπανάληψις τοῦ αὐτοῦ, οἷον τὸ ὅλον ἐστὶν ὅλον· ἐπὶ δὲ τούτων, ὁ τῶν νοημάτων ταυτισμὸς ἐν ἰδεῶν ἑτεροτητι, καὶ ἐν ὅροις ἐκφέρεται διαφέρουσιν. Οἷον τὸ ὅλον ἔχει μέρη. Ἑτεροία γάρτις ἡ τῶν μερῶν ἰδέα τῆς τοῦ ὅλου, κἂν ἐν αὐτῷ τῷ ὅλῳ ἀπαραιτήτως ἐνθεωρῆται τὰ μέρη νοούμενα.

§. ωοζ΄. Πότερον δὲ ἐκ τῶν Ἐποπτικῶν δυνατὸν ἀξιώματα καρποῦσθαι; Οὐ γὰρ δοκεῖ· παρὰ τὸ μὴ σαφῶς τινὶ τῶν ὅρων ἐν ἐκείνοις συνθεωρεῖσθαι συνάρτησιν (§. ωοα.). Ἀλλὰ γὰρ εἴ τις κἂν ταύταις τινὶ τῶν ἐννοιῶν χέσιν ἀκριβῶς ἐξετάσειε, συνίδοι ἂν ὀμαρῶς, ἀρχάς τινας καὶ δι' αὐτῶν συνίσασθαι ἀμέσως τε, καὶ αὐτοπίστως, ἃς ἅπασιν εὔλογον κοινῆτε ἀξιοῦσθαι, καὶ ἀναρρότως προσβάλλεσθαι τοῖς ὁδὸν πλέον δι' αὐτῶν ἀποφαίνεσθαι βουλομένοις, ἢ ὃ κατ' αἴσθησιν εἰσὶν ἀντιλαμβανόμενοι. Γίνεται γάρ πως καὶ ἐπὶ τούτων, τῆς κατὰ τὸ ὑποκείμενον συνθέτου ἐννοίας (§. μγ΄.) στοιχεῖον, ἡ κατὰ τὸ κατηγορούμενον ἁπλουστέρα ἔννοια, οἷον τῆς τοῦ γάλακτος, φέρε, ἡ χυμὸς λιπαρὸς, γλυκὺς, λευκὸς, ἐκ μαζῶν τῆς κυήσης, ἢ κυησάσης ἀποθλιβόμενος, ἡ ἔννοια ἡ τοῦ λευκοῦ. Ὅθεν καὶ ὁ τὸ γάλα λευκὸν εἶναι ἀξιῶν, ὁδὸν ἕτερον, ἢ ὅπερ ἢ λευκὸν ἀντιλαμβάνεται, ἢ λευκὸν ἀντιλαμβάνεσθαι αὐτοῦ ὀφείλει ἀξιοῦν. Καὶ γὰρ εἰ μὴ ἐκ τῶν προτέρων πάρεστι τῷ λόγῳ συνεφῶν τινὶ τῶν ἰδεῶν

(1) Λεϊβνίτ. ἀν ταῖς Ἀνακρίσ. εἰς τὸ περὶ τοῦ Νοῦ Βιβλ. Α΄. Κεφ. Β΄. καὶ Ζ΄.



ἰδεῶν ἐν τούτοις, καθάπερ ἐπὶ τῶν ἐννοηματικῶν, συνάρτησιν, ἀλλὰ τινὶ τῆς συνθέτου ἐννοίας ὑπὸ τῶν ἁπλουστέρων ἀνθιλήψεων συγκροτήσιν, οὐδὲν ἂν ἐπιεικῶς ἀρνήσαιτο· περιττὴ γὰρ εἰς τὸ μὴ ἀντιλαμβάνεσθαι λέγειν, ὅπερ ἤδη ἀντιλαμβάνεται. Τὸ γοῦν ἐγὼ εἰμὶ ἀναπόδεικτον ἀρχὴν καὶ πρώτιστον, εἶναι τιθέασι (1), τὸν ἀποδεῖξαι ἐπιχειρήσαντα μὴ ἀποδεχόμενοι· τοῦ χάριν; ὅτι ἡ συναίσθησις τὸ εἰμὶ τῷ ἐγὼ ἀνενδοιάστως συνέζευξεν. Ἀλλὰ καὶ τὸ λευκὸν τῷ γάλακτι ὡσαύτως ἡ αἴσθησις. Καὶ ἑτέρου ἑτέρῳ ἀπαραιτήτως ὁ λόγος συνῆψεν. ἔτ' ἐμοιγε δηλονότι τινὶ ὕπαρξιν, οὐδὲ τῷ γάλακτι τινὶ λευκότητα, ἀλλ' ἐκεῖνο μὲν κείνῳ προσεῖναι ἡ αἴσθησις ἡ ἔσω, τοῦτο δ' ἐν τούτῳ ἡ ἐκτὸς διεπίστωσεν. Ἐρεῖ ἔντις, ὡς ἔστω, καὶ τὸ τινὶ οὐ οὔσασι κώπιν κεκλάσθαι, ἀξίωμα ἔσαι Πάντως μὲν δὴ, εἰ τὸ κεκλᾶσθαι νοοῖτο, ἀντὶ τοῦ κεκλασμένου ὀπτάνεσθαι· καὶ εἰ τὸ ἀξίωμα πλατυτέρόν πως ἐκληφθείη, ὥστε κρίσιν ἁπλῶς σημαίνειν τινὶ ἐκ τῶν ἐν ἡμῖν γνωστικῶν δυνάμεων τὸ πιστὸν ἔχουσαν, καὶ διὰ προηγουμένης κρίσεως ἀναπόδεικτον. Ἀλλὰ ταῦτα μὲν εἴτις ἐδ' ἔστω τοῦ τῶν ἀξιωμάτων ἀξιῶν ἐθέλοι ὀνόματος ἐδὲν διοισόμεθα μόνον εἰ τῆς δεύσης αὐτὰ μὴ ἀποστεροίη, καὶ ὀφειλομένης πίστεως.

§. ωοη΄. Τὰ δὲ κυρίως τοιαῦτα, ἤτοι τὰς δι' ἐννοηματικῶν κρίσεων (§. ωοε΄.) ἀξιωματικὰς Ἀποφάνσεις ἐκ τῶν ὁρισμῶν μάλιστα λαμβάνειν ἐσί. Τοῦτο δὲ πολλαχῶς. Οἷον ὑποκειμένου τὴν ἀνδρίαν εἶναι ψυχῆς ἀρετὴν καθ' ἣν δυσέκπληκτοι εἰσὶ περὶ τὰ δεινά. Ἀξιῶ Α΄. ἀπὸ τοῦ ὁρισοῦ καὶ τοῦ γένους· ἡ ἀνδρία ἐστὶν ἀρετή. Ἀξιῶ Β΄. ἀπὸ τοῦ ὁρισοῦ καὶ τῆς διαφορᾶς· Ἡ ἀνδρία ἐστὶν δυσεκπληξία τις περὶ τὰ δεινά. Ἀξιῶ Γ΄. ἀπὸ τῆς



(1) Τὸ ἐγὼ εἰμὶ, διὰ τοῦ ἐγὼ νοῶ ἀποδεικνύειν δοκοῦντα τὸν Γάλλον Καρτέσιον ὁ Γερμανὸς Λεϊβνίτιος, ἐκ ἀποδέχεται. Ὁ γὰρ ἐγὼ (φησὶ) νοῶ λέγων, ὅτι ἐγὼ εἰμι νοῶν ἀποφαίνεται· τοῦτο δὲ ἐστὶν ἐγὼ εἰμί. Ὥστε τὸ ἐν ἀρχῇ προδήλως αἰτήσεται. Πρὸς δὲ τὸν Ἄγγλον ἀποτεινόμενος Λώκιον, καίτοι (φησὶν) ἐ κομιδῇ ἄλογως, τὸ ἐγὼ εἰμὶ τῆς τῶν Ἀξιωμάτων ἐκκλίσεται τάξεως, διὰ τὸ πρότασιν εἶναι ἀμέσῳ μοί τινι πάρεξ ἐπερειδομένῳ, μὴ μέντοι ἀναγκαίαν τινὶ τῶν ἐν αὐτῇ ἰδεῶν συνάφειαν παριστάνουσαν (τοῦ Θεοῦ γὰρ μόνου τὸ ἀδύνατον ἐστὶν, ὅπως οἱ δισσοὶ ἔτοι ὅροι, ἐγώτε, καὶ ἡ ὕπαρξις ἀλλήλοις συνδέδεται.) ἀλλὰ τοῦ Ἀξιώματος (προσίδησιν) ἀντὶ τινὸς ἀληθείας ἀμέσως καὶ ἀναποδείκτου γενικώτερον ἐκληφθέντος, ἔχοι ἄντις καὶ τὸ ἐγὼ εἰμὶ, ἀξίωμα ἀποκαλεῖν, κἂν ταῖς πρώταις ἀληθείαις τάξει καὶ αὐτὸ ἐναριθμοῖν.

Λεϊβν. Ἀνακρ. περὶ τοῦ Νοῦ Βιβλ. Α΄. Κεφ. Ζ΄. §. 7.